# 156. DENUNCIATION OF THE SCRIBES AND PHARISEES (Matt-Lk Identicals)

| Matt 23:1-12 | Luke 20:45-47 |
| --- | --- |
| *Τότε ὁ Ἰησοῦς* | *Ἀκούοντος δὲ παντὸς τοῦ* |
| *ἐλάλησεν τοῖς ὄχλοις* | *λαοῦ* |
| *καὶ τοῖς μαθηταῖς αὐτοῦ 2 λέγων,* | *εἶπεν τοῖς μαθηταῖς αὐτοῦ,* |
| *Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. 3 πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν ποιήσατε καὶ τηρεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσιν γὰρ καὶ οὐ ποιοῦσιν. 4 δεσμεύουσιν δὲ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά. 5 πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσιν γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσιν τὰ κράσπεδα,* | |
| | *46 Προσέχετε ἀπὸ τῶν* |
| | *γραμματέων* |
| | *τῶν θελόντων* |
| | *περιπατεῖν ἐν στολαῖς* |
| *6 φιλοῦσιν δὲ* | *καὶ φιλούντων* |
| | *ἀσπασμοὺς* |
| | *ἐν ταῖς ἀγοραῖς* |
| | *καὶ πρωτοκαθεδρίας* |
| | *ἐν ταῖς συναγωγαῖς* |
| *τὴν πρωτοκλισίαν* | *καὶ πρωτοκλισίας* |
| *ἐν τοῖς δείπνοις* | *ἐν τοῖς δείπνοις,* |
| *καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς 7 καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββί. 8 ὑμεῖς δὲ μὴ κληθῆτε, Ῥαββί, εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος, πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. 9 καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν ὑμῶν ὁ πατὴρ ὁ οὐράνιος. 10 μηδὲ κληθῆτε καθηγηταί, ὅτι καθηγητὴς ὑμῶν ἐστιν εἷς ὁ Χριστός. 11 ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. 12 ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.* | |
| | *47 οἳ κατεσθίουσιν τὰς οἰκίας* |
| | *τῶν χηρῶν* |
| | *καὶ προφάσει* |

*μακρὰ προσεύχονται·*
*οὗτοι λήμψονται*
*περισσότερον κρίμα.*

209 total words with 12 identicals = 6%